ὑπερέκυπτεν· ἀντικρὺ βωμὸν αὐτοσχεδίως ἐνήσαμεν, εἶτα σχίζια καὶ πόπανα ἐπ' αὐτῷ θέμεναι καταρχόμεθα λευκῆς ἀλεκτορίδος, καὶ μελίκρατον ἐπισπείσασαι καὶ λιβανωτὸν ἐπιθυμιάσασαι τῷ πυριδίῳ καὶ προσευξάμεναι πολλὰ μὲν ταῖς Νύμφαις πλείω δὲ ἢ οὐκ ἐλάττω τῇ Ἀφροδίτῃ, ἱκετεύομεν διδόναι τινὰ ἡμῖν ἐρωτικὴν ἄγραν. Τὸ λοιπὸν εὐτρεπεῖς ἐπὶ τὴν εὐωχίαν ἦμεν. 'Ἴωμεν' ἔφη ἡ Μέλισσα 'οἴκαδε καὶ κατακλινῶμεν'· 'μὴ μὲν οὖν πρός τε τῶν Νυμφῶν καὶ τοῦ Πανός' εἶπον ἐγώ 'τούτου· ὁρᾷς γὰρ ὥς ἐστιν ἐρωτικός· ἡδέως ἂν ἡμᾶς ἐνταῦθα κραιπαλώσας ἴδοι· ἀλλ' ὑπὸ ταῖς μυρρίναις ἣν ἰδοὺ τὸ χωρίον ὡς ἔνδροσόν ἐστιν ἐν κύκλῳ καὶ τρυφεροῖς ἄνθεσι ποικίλον. ἐπὶ ταύτης βουλοίμην ἂν τῆς πόας κατακλιθῆναι ἢ ἐπὶ τῶν ταπητίων ἐκείνων καὶ τῶν μαλθακῶν ὑποστρωμάτων. νὴ Δία, ἀλλὰ ἔχει γέ τι πλέον τῶν ἐν ἄστει τἀνταῦθα συμπόσια, ἔνθα ἀγροῦ ὑπαίθριοι χάριτες·' 'ναὶ ναί, λέγεις καλῶς' ἔφασαν· εὐθὺς οὖν κατακλώμεναι αἱ μὲν σμίλακος αἱ δὲ μυρρίνης κλάδους καὶ τὰ χλανίσκια ἐπιστορέσασαι αὐτοσχεδίως συνερρίψαμεν. ἦν δὲ καὶ τοὔδαφος λωτῷ καὶ τριφύλλῳ μαλθακόν· ἐν μέσῳ κύκλῳ καί τινες ὑάκινθοι καὶ ἄνθεμα διαποίκιλα τὴν ὄψιν ὥρᾳζον· ἐαρινοῖς ἐφιζάνουσαι πετάλοις ἡδὺ καὶ κωτίλον ἀηδόνες ἐψιθύριζον, ἠρέμα δὲ οἱ σταλαγμοὶ καταλειβόμενοι ἀπὸ τῆς οἷον ἱδρούσης σπιλάδος τρυφερόν τινα παρεῖχον ψόφον ἐαρινῷ πρέποντα συμποσίῳ.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416175945/16 UNIVERSITÄT LEIPZIG